*κλιτὺν δροσεράν·*
*ὠή, ῥίψω πέτρον τάχα σου.*
*ὕπαγ᾽ ὦ ὕπαγ᾽, ὦ κεράστα,*
*μηλοβότα στασίωρον*
*Κύκλωπος ἀγροβάτα.*

*σπαργῶντας μαστοὺς χάλασον·* antistr.
*δέξαι θηλαῖσι σπορὰς*
*ἃς λείπεις ἀρνῶν θαλάμοις.*
*ποθοῦσί σ᾽ ἁμερόκοιτοι*
*βλαχαὶ σμικρῶν τεκέων.*
*εἰς αὐλὰν πότ᾽ ἀμφιβαίνεις*
*ποιηροὺς λείπουσα νομοὺς*
*Αἰτναίων εἴσει σκοπέλων;*

*⟨ψύττα, οὐ τᾷδ᾽ οὔ, οὐ τᾷδε νεμῇ*
*κλιτὺν δροσεράν·*
*ὠή, ῥίψω πέτρον τάχα σου.*
*ὕπαγ᾽ ὦ ὕπαγ᾽, ὦ κεράστα,*
*μηλοβότα στασίωρον*
*Κύκλωπος ἀγροβάτα⟩.*

*οὐ τάδε Βρόμιος, οὐ τάδε χοροὶ* epod.
*Βάκχαι τε θυρσοφόροι,*
*οὐ τυμπάνων ἀλαλαγμοὶ*
*κρήναις παρ᾽ ὑδροχύτοις,*
*οὐκ οἴνου χλωραὶ σταγόνες*
*οὐδ᾽ ἐν Νύσᾳ μετὰ Νυμφᾶν*
*ἴακχον ἴακχον ᾠδὰν*

---

50 *οὔτ᾽ οὖν* ante *κλιτὴν* add. *l* | *κλιτὴν LP* 52 *ὕπαγ᾽ ὦ ὕπαγ᾽ ὦ*] corrector apogr. Paris., *ὑπάγω ὑπάγω LP* 53 *τοῦ μηλοβότα* Heath | *στασίωρον L*, *στασίορον P*, *στασιωρὸν* Bothe, *στασιωρὸς* Hermann (*στασίωρος* Scaliger) 54 *ἀγροβότα L*, *ἀγροβάτα l*, *ἀγροβάτα* (factum ex *ἀγρόβοτα*) *P* 55 post *σπαργῶντας* add. *μοι τοὺς l* 56 *σπορὰς*] *γονὰς* L. Dindorf, *τροφὰς* Wieseler 60 *αὐλάν ποτ᾽ P* | *ἀμφιβαίνεις LP*, *γρ. βάλεις* primum super *βαίνεις* scripsisse, deinde lineola transfixa delevisse et *βαίνεις* in *βάλεις* mutavisse videtur *l*, *ἀμφιλαφῆ* Hartung 61 *λιποῦσα LP*, *λείπουσα l* 62 *εἴσει*] Seidler, *εἴσω LP* | post 62 iterandos esse v. 49—54 vidit Kirchhoff 63 *τᾶδε . . . τᾶδε LP* 65 *οὐ τυπάνων ἀραγμοί* Nauck, cfr. 205 66 *κρήναις LP*, *κρήναισι l* 68 *οὐδ᾽ ἐν Νύσ(σ)ᾳ*] Duport, *οὐδ᾽ ἐννύσσα LP*, *οὐ νύσσα l*